δίβολόν τ᾽ ἄκοντα πάλλων.
σὲ γὰρ οὔτις ὑποστὰς
Ἀργείας ποτ᾽ ἐν Ἥρας δαπέδοις χορεύσει·
ἀλλά νιν ἅδε γᾶ
καταφθίμενον Θρῃκὶ μόρῳ
φίλτατον ἄχθος οἴσει.
ἰὼ ἰώ.
μέγας ὦ βασιλεῦ, καλόν, ὦ Θρῄκη,
σκύμνον ἔθρεψας πολίαρχον ἰδεῖν.
ἴδε χρυσόδετον σώματος ἀλκήν,
κλύε καὶ κόμπους κωδωνοκρότους,
παρὰ πορπάκων κελαδοῦντας.
θεός, ὦ Τροία, θεὸς αὐτὸς Ἄρης,
ὁ Στρυμόνιος πῶλος ἀοιδοῦ
Μούσης ἥκων καταπνεῖ σε.

ΡΗ. χαῖρ᾽, ἐσθλὸς ἐσθλοῦ παῖ, τύραννε τῆσδε γῆς,
Ἕκτορ· παλαιᾷ σ᾽ ἡμέρᾳ προσεννέπω.
χαίρω δέ σ᾽ εὐτυχοῦντα καὶ προσήμενον
πύργοισιν ἐχθρῶν· συγκατασκάψων δ᾽ ἐγὼ
τείχη πάρειμι καὶ νεῶν πρήσων σκάφη.

ΕΚ. παῖ τῆς μελῳδοῦ μητέρος Μουσῶν μιᾶς
Θρῃκός τε ποταμοῦ Στρυμόνος, φιλῶ λέγειν
τἀληθὲς ἀεὶ κοὐ διπλοῦς πέφυκ᾽ ἀνήρ.
πάλαι πάλαι χρῆν τῇδε συγκάμνειν χθονὶ
ἐλθόντα, καὶ μὴ τοὐπὶ σ᾽ Ἀργείων ὕπο
Τροίαν ἐᾶσαι πολεμίων πεσεῖν δορί.
οὐ γάρ τι λέξεις ὡς ἄκλητος ὢν φίλοις
οὐκ ἦλθες οὐδ᾽ ἤμυνας οὐδ᾽ ἐπεστράφης.
τίς γάρ σε κῆρυξ ἢ γερουσία Φρυγῶν
ἐλθοῦσ᾽ ἀμύνειν οὐκ ἐπέσκηψεν πόλει;
ποίων δὲ δώρων κόσμον οὐκ ἐπέμψαμεν;
σὺ δ᾽ ἐγγενὴς ὢν βάρβαρός τε βαρβάρου

---

378. *Θρῃκί*] Musurus, *Θρῃκίων* vel *Θρῃκίῳ* libri. 388. *χαῖρ᾽ ἐσθλὸς ἐσθλοῦ παῖ (παῖς) ABC χαῖρ᾽ ἐσθλοῦ παῖ* B *ἐσθλοῦ χαῖρε παῖ* C *χαῖρ᾽ ἐσθλοῦ πατρὸς παῖς* bc 393. *παῖς ABC* 399. *φίλοις*] Musurus, *φίλος* BCb *A* (c *BC*?) 404. *βαρβάρους ABC*